8 170A6 I τ ο ῦ  κ α θ ό λ ο υ · συναγαγεῖν /(ρξβ)/

8 170A7-8 I π α ρ ά  τ ε  τ ὸ  ἐ π ί  τ ι · νόει ἔξωθεν τὸ συναγάγη.

8 170A8-9 I ἐ ν α ρ ι θ μ ο υ μ έ ν ο υ · ἤτοι μὴ ὀφείλοντος λαμβάνεσθαι /ρξζ/

8 170A12 M ἔ σ τ ι  δ' ὁ  σ ο φ ι σ τ ι κ ὸ ς  ἔ λ ε γ χ ο ς )




9 170A20 M π α ρ ὰ  π ό σ α  δ' ἐ λ έ γ χ ο ν τ α ι ) 411v



9 170B2 M ἢ εἷς ἢ δύο συλλογισμοί) 412 r




9 170B8 I τοῖς τυχοῦσιν· οὗτοι γὰρ ἄγνοιαν ἔχοντες, οἴονται τὸν φαινόμενον ἔλεγχον γενέσθαι διὰ πολλὰ τὰ αἴτια :- /ρπ/

9 170B8 M τοῦ διαλεκτικοῦ)




10 170B12 I τῶν λόγων· ἤτοι παραλογισμῶν /ρπβ/

10 170B13 I πρός[1]· ἤτοι παρὰ /ρπβ/

10 170B13 I πρός[2]· ἤτοι παρὰ /ρπβ/

10 170B15 I πρός[2]· παρὰ /ρπβ/ 412 v

10 170B16 I πρὸς τὴν διάνοιαν· ἀντὶ τοῦ παρὰ τὴν διάνοιαν /ρπβ/

10 170B17 I χρῆται· ὁ ἐρωτῶν /ρπβ/

10 170B17 I ἐφ' ᾧ· σημαινομένῳ /ρπβ/

οἰόμενος ἐρωτᾶσθαι ἐφ' ὃ in ἐφ' ᾧ οἰόμενος ἐρωτᾶσθαι mutavit scholiasta. Cf. Leonis ρπβ: ἐφ' ᾧ σημαινομένῳ οἰόμενος ἐρωτᾶσθαι

10 170B17-18 M ὅταν μὴ χρῆται ... ἔδωκεν)




10 170B18 I ἔδωκεν· τὴν ἀπόκρισιν /ρπβ/

10 170B18 M πρὸς τοὔνομα· τὸ γὰρ πολύσημον τοῦ ὀνόματος γέγονεν αἴτιον τοῦ, τὸν ἐρωτῶντα παρὰ τὴν διάνοιαν τοῦ ἐρωτωμένου συλλογίσασθαι τὴν ἀντίφασιν. τὸ δὲ κατὰ τὴν διάνοιαν τοῦ ἐρωτωμένου ἐστίν; ὅταν ὁ ἐρωτῶν χρᾶται τῷ ὀνόματι. ἐπ' ἐκείνου τοῦ πράγματος ὃ διανοούμενος ὁ ἐρωτηθεὶς κατέφησεν :- /ρπβ-ρπγ/

10 170B19 I πρός· κατὰ /ρπγ/

10 170B21 I οἷον ἴσως· ἤγουν ὡς ἐγὼ δοξάζω /ρπδ/

10 170B22 I ὁ ἀποκρινόμενος· ὁ παρμενίδης /(ρπδ)/

10 170B23 I ὁ λόγος· ὁ συλλογισμὸς /ρπδ/

10 170B26 M π ρ ῶ τ ο ν μ ὲ ν ) ὅτι ψευδῶς λέγουσιν ἐκεῖνοι πάντας τοὺς παραλογισμοὺς εἰς τὸ πρὸς τοὔνομα καὶ εἰς τό, πρὸς τὴν διάνοιαν ἀνάγεσθαι, δῆλον ἐντεῦθεν :- /ρπϛ/

10 170B27 I λ ό γ ο υ ς · ἤτοι παραλογισμούς /ρπϛ/

10 170B28 I π ε ρ ὶ ὅ ν τ ι ν ' ο ὖ ν · ἢ τὸν ἐρωτῶντα ἢ τὸν ἐρωτώμενον. θάτερος γὰρ τούτων ἐστὶν αἴτιος τῆς ἀπάτης καὶ οὐχ' ὁ λόγος :- /ρπζ/

10 170B28 I ἔ σ τ ι ν · ὁ παραλογισμός /ρπζ/

10 170B29 I π ρ ὸ ς · παρὰ /ρπζ/

10 170B30 I ἔ χ ε ι ν π ῶ ς π ρ ὸ ς · ἤγουν ἀγνοεῖν ὅτι τόδε πολύσημον ἐστί /ρπζ/

10 170B31 I ἐ ν δ έ χ ε τ α ι · τοὺς addidit scholiasta /ρπη/

10 170B39 I π ρ ὸ ς τ ο ύ τ ο υ ς ἔ χ ε ι ν π ω ς · ἤγουν 413r
ἀποκριθῆναι κακῶς /(ρϙ)/

10 170B40 I τ ὸ ν λ ό γ ο ν · τὸν ἐρωτηθέντα /(ρϙ)/

10 171A5 I τ ῶ ι σ υ λ λ ο γ ι σ μ ῶ ι · ἤτοι τῷ συμπεράσματι /ρϙβ/

10 171A6 I τ ῆ ι ἀ ν τ ι φ ά σ ε ι · τῇ ἐρωτήσει τῇ, κατὰ ἀντίφασιν προτεινομένῃ /ρϙβ/

10 171A8 M σ ι γ ῶ ν τ α λ έ γ ε ι ν )




10 171A9 M ἃ μ ὴ ἔ χ ο ι τ ι ς δ ο ί η ἄ ν )




10 171A10-11 M ἐ ν τ ῶ ι σ υ λ λ ο γ ι σ μ ῶ ι )




In codice Urb. 35 haec figura ante duas superiores locata est, ita ut fort. ad 171a5 τῶι συλλογισμῶι trahenda sit. Hoc loco posuimus coll. CAG II.3: 82.26-29.

10 171A10 I ὁ μ ή ρ ο υ π ο ί η σ ι ς σ χ ῆ μ α · ἡ γὰρ ποί- 413v
ησις κύκλος, ὡς περὶ τὰς αὐτὰς ἱστορίας εἱλουμένη /ρϙγ/

10 171A10 M ὁ μ ή ρ ο υ π ο ί η σ ι ς σ χ ῆ μ α )




10 171A13 I λ ό γ ο ι · παραλογισμοί. /ρϙγ/

10 171A13 I π ρ ὸ ς · κατά /ρϙγ/

10 171A13 I τ ὴ ν δ ι ά ν ο ι α ν · τοῦ ἐρωτωμένου /ρϙγ/

10 171A13 I ἢ ο ὔ · λύσις. Scholiasta ante ἢ semicolo (;) interpunxit. /ρϙγ/

10 171A16 I ἢ ο ὔ · τοῦτο ὡς ἀπόκρισις Scholiasta ante ἢ semicolo (;) interpunxit. /(ρϙδ)/

10 171A18 I π ρ ὸ ς τ ὴ ν δ ι ά ν ο ι α ν · τοῦτο κατὰ ἀπόφασιν

10 171A18 M ἢ π ῶ ς δ ε ῖ ἐ ρ ω τ ᾶ ν · τοῦτο πρὸς τοὺς λέγοντας ὡς εἰ μετὰ διαιρέσεως προφέρομεν τὴν ἐρώτησιν, οὐδὲν τὸ κωλύον τὰ σοφίσματα πρὸς τοὔνομα ἢ πρὸς τὴν διάνοιαν ἀνάγεσθαι :- /ρϙε/

10 171A21 I μ η δ α μ ῶ ς · σιγῶντα λέγειν /ρϙε/

10 171A21 I ὁ δ ὲ δ ι α λ ε χ θ ε ί η · ἤγουν συνάξει ὡς ἔστι σιγῶντα λέγειν /ρϙε/

10 171A22 I ὁ λ ό γ ο ς · ὡς παραλογισμός /ρϙε/

10 171A22 I δ ο κ ε ῖ τ ῶ ν π α ρ ὰ τ ὸ ὄ ν ο μ α · ὥστε πάλιν ἐλέγχεται ταυτὸν εἶναι τὸ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν :- /ρϙε/

10 171A23 I γ έ ν ο ς · ἕτερον τοῦ πρὸς τοὔνομα /ρϙε/

10 171A23-24 I ἀ λ λ ' ο ἱ μ ὲ ν · οἱ παρὰ τὴν λέξιν /ρϙϛ/

10 171A24 I ο ἱ ἔ λ ε γ χ ο ι · οἱ παρὰ τὴν λέξιν /ρϙϛ/

10 171A25 I ο ἱ φ α ι ν ό μ ε ν ο ι ἔ λ ε γ χ ο ι · ἤγουν οἱ, ἐκτὸς τῆς λέξεως /ρϙϛ/

10 171A28 M ε ἰ δ έ τ ι ς ἀ ξ ι ο ῖ δ ι α ι ρ ε ῖ ν ) εἰ δέ τις λέγοι ὅτι διαιρῶν πρὸς τοὔνομα ἀποκρίνομαι οἷον ἐπὶ τοῦ, σιγῶντα λέγειν, ἄτοπον· ποία γὰρ ἐν τοῖς μὴ ὁμωνύνοις διαίρεσις:-

10 171A31 I ἀ δ ύ ν α τ ο ν δ ὲ δ ι α ι ρ ε ῖ ν · ἤτοι κατὰ διαίρεσιν ἐρωτᾶν ὃ μὴ γινώσκει εἶναι πολύσημον /ρϙζ/ 414 r

10 171A32 I ὡ ς ἔ χ ε ι · ἤτοι πολλαχῶς λέγεται /ρϙζ/

10 171A34 M ἐ π ε ὶ κ α ὶ ἐ ν τ ο ῖ ς μ ὴ δ ι π λ ο ῖ ς ) τοῦτο ἀπ' ἐκείνων ἐπάγεται πρὸς τὸν ἀριστοτέλην. λέγοντα μὴ δυνατὸν εἶναι τὰ μὴ ὁμώνυμα, κατὰ διαίρεσιν ἐρωτᾶν. καὶ φασὶ πῶς λέγεις ἀριστότελες ὡς δεῖ τὸ ἐρωτώμενον εἶναι ὁμώνυμον ἵνα κατὰ διαίρεσιν προβαίη ἡ ἐρώτησις. δυνατὸν γάρ ἐστι καὶ ἐν τοῖς μὴ ὁμωνύμοις τοῦτο ποιεῖν :- /ρϙη/

10 171A38 - B2 M ἕ τ ε ρ ο ν ... ἐ ρ ω τ ᾶ ν )




11 171B7 M ὁ δ ὲ τ ο ῦ τ ο φ α ι ν ο μ έ ν ω ς π ο ι ῶ ν ...) δύο κακύνουσι τὴν ἀλήθειαν. ὕλη προτάσεων. καὶ τέχνη πλοκῆς. ἀλλ' ἡ μὲν ἁμαρτία τῆς ὕλης, ποιεῖ τὸν πειραστικόν. ἡ δὲ τῆς τέχνης, τὸν ἐριστικὸν λόγον :-

11 171B8 I ἐ ρ ι σ τ ι κ ὸ ς κ α ὶ σ ο φ ι σ τ ι κ ό ς · ἐνταῦθα ὡς ταυτὰ λαμβάνει /σδ/

11 171B8-9 I φ α ι ν ό μ ε ν ο ς σ υ λ λ ο γ ι σ τ ι κ ό ς · ἤγουν ὁ παρὰ τὸ εἶδος τοῦ σχήματος /σδ/

11 171B9 I π ε ι ρ α σ τ ι κ ή · ἤγουν ἐξεταστική /σδ/

11 171B10 I τ ο ῦ · ἀπό

11 171B11 I κ α τ ὰ τ ὴ ν ἑ κ ά σ τ ω ν μ έ θ ο δ ο ν · 414v
ἤγουν ἐκ τῶν ἀρχῶν τῆς μεθόδου καὶ τῆς ἐπιστήμης ἐξ ἧς καὶ τὸ πρόβλημα ἐλήφθη /σε/

11 171B12 I ε ἶ ν α ι κ α τ ὰ τ ὴ ν τ έ χ ν η ν · ἤγουν ἐκ τῶν ἀρχῶν τῆς τέχνης καὶ ἐπιστήμης /σε/

11 171B13-14 I ο ἱ π α ρ α λ ο γ ι σ μ ο ὶ · οἱ ἐν τοῖς ψευδογραφήμασι /σε/

11 171B14 M ο ὐ δ ὲ γ ' ε ἴ τ ί ἐ σ τ ι ) οὐδὲ εἴ τι ἐστὶ ψευδογράφημα περὶ ἀληθές. ἤγουν ἐκ τῶν οἰκείων ἀρχῶν ἑκάστης ἐπιστήμης καὶ ἀληθῶν; τοῦτο καὶ ἐριστικόν ἐστιν. ἐλλειπτικὸς δὲ ὁ λόγος. καὶ διὰ τοῦτο δεῖ λαμβάνειν ἔξωθεν τὸ, τοῦτο ἐριστικόν ἐστιν. ὁ βρύσων, οὐκ ἐκ τῶν ἀρχῶν τῆς γεωμετρίας ἐπειρᾶτο τετραγωνίζειν τὸν κύκλον. ἀλλ' ἔκ τινων κοινοτέρων καὶ ψευδῶν. ἐλάμβανε γὰρ ὡς τὰ, τῶν αὐτῶν μείζονα καὶ ἐλάττονα, ἴσα ἀλλήλοις εἰσίν. ὅπερ κοινόν ἐστιν ὡς ἐφαρμόζον καὶ ἐπ' ἀριθμῶν. καὶ τόπων. καὶ χρόνων. καὶ μεγεθῶν. ψευδὲς δὲ ὅτι τὰ η' καὶ θ' τῶν μὲν δέκα, εἰσὶν ἐλάττονα. τῶν δὲ ζ' μείζονα. ἀλλ' ὅμως ἴσα οὐκ εἰσί. κατέγραφε γοῦν κύκλον καὶ ἐντὸς τοῦ κύκλου, τετράγωνον. καὶ ἐκτὸς ἕτερον. μέσον δὲ τοῦ ἐκτὸς τετραγώνου καὶ τοῦ κύκλου, ἕτερον τετράγωνον. καὶ συνελογίζετο οὕτως·



| | | |
|---|---|---|
| ἴσα ἀλλήλοις εἰσίν. | εἰσὶ μὲν μείζονα τοῦ τετραγώνου. τοῦ ἐντὸς τοῦ κύκλου. ἐλάττονα δὲ τοῦ ἐκτὸς τετραγώνου | τὸ μέσον τετράγωνον καὶ ὁ κύκλος |

π

/σε/

11 171B14-15 I π ε ρ ὶ ἀ λ η θ έ ς · περὶ ἀληθὲς ἀπόδειξις

11 171B16 I ἀ λ λ ' ὡ ς ὁ β ρ ύ σ ω ν ἐ τ ε τ ρ α γ ώ ν ι ζ ε · τῆς φυσικῆς τοῦ πράγματος μὴ ἁπτόμενος ἀληθείας. διὸ καὶ σοφιστικός ἐστι :-

11 171B17 I ἀ λ λ ' ὅ τ ι ο ὐ κ α τ ὰ τ ὸ π ρ ᾶ γ μ α · ἀλλὰ διότι οὐκ ἐκ τῶν ἀρχῶν τῆς γεωμετρίας καὶ οἰκείων τοῦ προκειμένου προβλήματος /(σζ)/

11 171B18-19 I φ α ι ν ό μ ε ν ο ς σ υ λ λ ο γ ι σ μ ό ς · ἤγουν ὁ μὴ τηρῶν τὸ εἶδος τοῦ σχήματος /ση/

11 171B19 I κ α ὶ ὁ κ α τ ὰ τ ὸ π ρ ᾶ γ μ α · καὶ ὁ δοκῶν φυσικῶς λέγειν μὴ ὄντως φυσικῶς λέγων καὶ οὗτος ἐριστικός ἐστιν

11 171B19 I φ α ι ν ό μ ε ν ο ς σ υ λ λ ο γ ι σ μ ό ς · ἤτοι δοκῶν συνάγεσθαι ἐκ τῶν ἀρχῶν τοῦ πράγματος /σθ/

11 171B24 I π ά ν τ ω ν ἅ π τ ο ν τ α ι · τῶν μὴ νομίμων ἐν ἄθλοις

11 171B25 I ο ἱ μ ὲ ν ο ὖ ν τ ῆ ς ν ί κ η ς · ἐνταῦθα λέγει κατὰ τί διαφέρει ὁ ἐριστικὸς τοῦ σοφιστικοῦ /σι/

11 171B25 (ca.) M




11 171B30 I λ ό γ ω ν τ ῶ ν α ὐ τ ῶ ν · ἤγουν ἐκ φαινομένων 415r
ἐνδόξων γίνονται /σια/

11 171B31 I ο ὐ τ ῶ ν α ὐ τ ῶ ν · σκοπῶν /σια/

11 171B34-35 M ὁ δ ' ἐ ρ ι σ τ ι κ ό ς ) νῦν λέγει πῶς ἔχει ὁ ἐριστικὸς πρὸς τὸν διαλεκτικόν. ἡ γὰρ ἐριστικὴ ὑποκρίνεται τὴν διαλεκτικήν. καὶ ἔοικε ταύτῃ, καθ' ὃ περὶ παντὸς τοῦ προτεθέντος συλλογίζονται καὶ ἐκ τῶν αὐτῶν ἀρχῶν ἤγουν ἐξ ἐνδόξων προσέθηκε δὲ τὸ πῶς οὕτως, δηλῶν ὅτι καὶ διαφέρουσιν. οὐ γὰρ ἀπαραλλάκτως ἀμφότεροι τὰ ἔνδοξα λαμβάνουσιν. ἀλλ' ὁ μὲν διαλεκτικός, τὰ κυρίως. ὁ δὲ ἐριστικός, τὰ φαινόμενα :- /σιβ/

11 171B36 I ἐ κ γ ὰ ρ τ ῶ ν α ὐ τ ῶ ν · ἐξ ἐνδόξων /σιβ/

11 171B38 I ὁ μ ὲ ν ο ὐ κ ἐ ρ ι σ τ ι κ ό ς · ὁ ψευδογράφος /σιγ/

11 172A2 I περὶ μὲν τ' ἄλλα· ἤτοι τὰς κοινὰς ἀρχὰς πάσης ἐπιστήμης περὶ ἃς καὶ ἡ διαλεκτική /σιγ/

11 172A5-6 M τὸν δὲ πρὸς πολλούς)

ὁμοίως λευκά εἰσι — π — χιόνος μὲν μελάντερα τιτάνων δὲ λευκότερα — τὸ ψιμμύθιον καὶ τὸ ᾠόν

ὁμοίως εἰσὶ θερμά — π — πυρὸς μὲν ψυχρότερα ἐλαίου δὲ θερμότερα — ὁ γλίχων καὶ τὸ σκόροδον

/(σιδ), cf. CAG II.3: 92/

11 172A5-6 M τὸν δὲ πρὸς πολλούς) καὶ γὰρ ὁ τοῦ βρύσωνος συλλογισμὸς δι' οὗ ἐτετραγώνιζε τὸν κύκλον ἁρμόσει καὶ ἄλλοις πολλοῖς; παρὸ ὁ τοῦ ἀντιφῶντος : /σιδ/

11 172A6 I ὅσοι μὴ ἴσασι τὸ δυνατόν· ὅσοι γὰρ ἄπειροι κρίνειν συλλογισμούς, παραλογίζονται

11 172A7 I ἁρμόσει γάρ· τό, πανταχῇ ἀπάγεσθαι

11 172A9 I κοινὸς γάρ· ἡ πλάνη κοινή 415 v

11 172A9 M εἰ μὲν οὖν· τὴν αἰτίαν λέγει δι' ἣν ἡ ἐριστικὴ καὶ ἐν τοῖς μαθήμασιν εὑρίσκεται. ἔστι δὲ αὕτη. ὁ ἐριστικὸς καὶ διαλεκτικὸς εἰ καὶ ὁμοιότητα ἔχουσι διὰ τό, περὶ παντὸς συλλογίζεσθαι προτεθέντος, ἀλλ' οὖν διαφέρουσι, καθὸ οὐκ ἐκ τῶν αὐτῶν ἀρχῶν συλλογίζονται. ὁ μέν, γὰρ ἐκ τῶν κυρίως ἐνδόξων ὅθεν οὐδὲ δύναται εὑρίσκεσθαι ἐν τοῖς μαθήμασιν ὁ δὲ ἐριστικός, ἐκ φαινομένων ἐνδόξων καὶ κοινῶν. καὶ διὰ τοῦτο δύναται καὶ ἐν τοῖς μαθήμασιν εὑρίσκεσθαι :- /σιϛ/

11 172A11 I περὶ ἐκείνων· τῶν μαθημάτων

11 172A11-12 M νῦν δ' οὐκ ... γένος τι)




11 172A11-12 M νῦν δ' οὐκ ... γένος τι) εἰπὼν ὡς ὁ διαλεκτικὸς περὶ παντὸς συλλογίζεται καὶ ὁ ἐριστικὸς νῦν λέγει καὶ τὴν αἰτίαν :- /σιζ/

11 172A12 I περὶ γένος τι· ὑποκείμενον /σιζ/

11 172A12 I ὡρισμένον οὐδὲ δεικτικὸς οὐδενός· τὰ γὰρ ὑποκείμενα πάσης ἐπιστήμης καὶ τὰς ἀρχάς. ἰδιοποιεῖται. /σιζ/

11 172A13 I ὁ καθόλου· ὁ πρῶτος φιλόσοφος /σιζ/

11 172A14 I τ ι ν ι γ έ ν ε ι · οἷον τῷ ὄντι ὥς τινες ἔλεγον /(σιζ)/

11 172A16 I τ ι ν α φ ύ σ ι ν · ἤγουν ἕν τι /σιθ/

11 172A17-20 M ἡ δ ὲ δ ι α λ ε κ τ ι κ ὴ ... ἠ ρ ώ τ α)




Cf. 244: 614r







11 172A21 M ἡ δ᾽ α ὐ τ ὴ κ α ὶ π ε ι ρ α σ τ ι κ ή · ἤγουν καὶ ἡ πειραστικὴ δὲ καὶ ἡ ἐριστική, ἡ αὐτή ἐστι τῇ διαλεκτικῇ. οὐ γὰρ περὶ ἓν ὑποκείμενον καταγίνεται. καὶ αὕτη. ὥσπερ καὶ τὴν διαλεκτικὴν ἐδείξαμεν. ἀλλ᾽ ἡ ἐριστικὴ τοιαύτη ἐστίν, ἣν οὐ μόνον ἔχει ὁ σοφιστής. ἀλλὰ καὶ ὁ μὴ εἰδώς. ἤγουν ὁ ἰδιώτης. ἔστι γὰρ καὶ τὸν ἰδιώτην τὸν μὴ εἰδότα τὸ πρᾶγμα ἤτοι τὴν ἀντίφασιν καὶ τὴν, αὐτῆς δύναμιν: πειράσαι τὸν μὴ εἰδότα. ὡς γὰρ ὁρῶμεν τινὰς μὴ νόμους μαθόντας, δικάζοντας. καὶ συνηγοροῦντας; οὕτως καὶ ὁ ἰδιώτης μὴ εἰδὼς τὴν ἀντίφασιν, ἐρωτᾶ ταύτην πρὸς ἕτερον ἰδιώτην. οἷον ἆρά γε ὕβρισάς με, ἢ οὔ. καὶ ἆρά γε ἐμοίχευσας, ἢ οὔ. καὶ εἰ μὲν ἐμοίχευσας, δεῖ σὲ τόδε παθεῖν. εἰ δ᾽ οὔ, ἀτιμώρητον ἐαθῆναι. ὁρᾷς ὅπως καὶ ὁ ἰδιώτης ἀτέχνως συλλογίζεται καὶ ἐρωτᾶ τὴν ἀντίφασιν. καὶ ταῦτα μὴ ταύτην εἰδώς :- /σκβ-σκγ/

11 172A25 I ο ὐ κ ἐ ξ ὧ ν ο ἶ δ ε ν · ἤγουν ἐπιστήμων μόνος /σκγ/

11 172A25 I ἑ π ο μ έ ν ω ν · ἤτοι τῶν κοινῶν καὶ γνωρίμων τοῖς πᾶσι /σκγ/

11 172A30 M τ ρ ό π ο ν τ ι ν ὰ χ ρ ῶ ν τ α ι · τοῦτο προσέ- 416 r
θηκε, διότι ὁ μέν, διαλεκτικός, γινώσκει τὸ ἐρωτώμενον ὡς ἀντίφασις ἐστί. καὶ ἀνάγκη θάτερον μόριον αὐτῆς ἀληθεύειν. οἱ δὲ ἰδιῶται, ἀτέχνως ἐρωτῶσιν αὐτήν. μὴ εἰδότες ὅλως τὴν δύναμιν τῆς ἀντιφάσεως :- /σκδ/

11 172A31 I π ά ν τ ε ς γ ὰ ρ μ έ χ ρ ι τ ι ν ό ς · ἤγουν

ἀπὸ τῶν κοινῶν /σκε/

11 172A33 I οὐδὲν ἧττον ἴσασιν· τῶν ἐπιστημόνων /σκε/

11 172A34 M ἀτέχνως γάρ) εἰς δύο διαιρεῖται ὁ πειραστικὸς εἴς, τε τόν, τεχνηέντως καὶ χάριν πείρας διαλεγόμενον, καὶ εἰς τόν, ἀτέχνως ἀπὸ κατατετριμμένων δοξῶν:-

11 172A36 M ἐπεὶ δ᾽ ἔστι πολλά)




11 172A36 M ἐπεὶ δ᾽ ἔστι πολλὰ μὲν ταῦτα) εἰπὼν τὸν ἐριστικὸν περὶ τὰ κοινὰ καταγίνεσθαι, δείκνυσιν αὐτὸν νῦν διὰ τούτων περὶ παντὸς ἐπιχειρεῖν. καὶ ἐν τοῖς μαθήμασιν εὑρίσκεσθαι. καὶ φησὶν ἐπειδὴ τὰ κοινὰ ταῦτα πολλά εἰσί. καὶ εὑρίσκονται ἐν πάσαις τέχναις καὶ ἐπιστήμαις. κοινὸν δὲ λέγω; ὡς τό, ἐπὶ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις. οὐ [οὐ] τοιαῦτα δὲ εἰσὶ τὰ κοινά, ὡς μιᾶς τινὸς φύσεως εἶναι καὶ ἐπιστήμης καὶ ὑφ᾽ ἓν γένος ἀνάγεσθαι. ἤγουν ὑπὸ ποσόν. ἢ ποιόν. καὶ διὰ τοῦτο οὐδὲ ὡρισμένα. εἰσὶ ἀλλ᾽ οἷον ἀποφάσεις. ἤγουν ἀόριστοι. ἡ γὰρ ἀπόφασις, ἡ οὐκ ἄνθρωπος τόδε ἐστὶν ἢ οὐ λευκόν, ἀοριστίαν εἰσάγει. ἐπεὶ γοῦν τὰ μέν, εἰσι κοινὰ καὶ ἀόριστα. τὰ δέ, ἴδια τινὸς ἐπιστήμης, δυνατὸν ἐστὶν ἐκ τούτων τῶν κοινῶν, περὶ πάντων ἤγουν περὶ παντὸς τοῦ προκειμένου πεῖραν λαμβάνειν. ἤγουν τέχνην τινὰ ἀπὸ τῶν κοινῶν ἐπιχειροῦσαν. καθὸ καὶ ἐρωτᾷ καὶ διαλέγεται. καὶ μὴ τοιαύτην εἶναι τέχνην τὴν ἐριστικήν, οἷαι εἰσὶ αἱ δεικνύουσαι. ἤγουν αἱ ἐπιστημονικαί. γεωμετρία δηλονότι, καὶ ἀστρονομία. καὶ ὅσαι τοιαῦται:- /σκζ/

11 172A36 I πολλὰ μὲν ταῦτα· τὰ κοινὰ ἃ λέγει ὁ ἐριστικός. ἤγουν αἱ ἀρχαί. /σκη/

11 172A37 I ὥστε φύσιν τινά· ὥστε μὴ προσαρμόζειν μιᾶ φύσει ἤγουν ἐπιστήμη μὴ δὲ γένει ἤγουν ὑποκειμένω ἐνί. οἷον ἀριθμοῖς ἢ μεγέθεσιν : /σκη/

11 172A39 I ἐκ τούτων· τῶν κοινῶν /σκζ/

11 172B2-3 M ὁ ψευδογράφος)

ἐξ ὡρισμένου παραλογιστικός ἐστιν




Cf. 1843: 358r

11 172B3 I παραλογιστικὸς ἐξ ὡρισμένου· ὡς ὁ ψευδογάφος

11 172B3 I τινος γένους· μιᾶς ἐπιστήμης /σκθ/

11 172B5 I τρόποι μὲν οὖν εἰσιν οὗτοι· οἱ ιγ' /σκθ/

11 172B6 I τούτων· τῶν σοφισμάτων /σκθ/ 416 v

11 172B7-8 M ἡ γὰρ περὶ τὰς προτάσεις μέθοδος) ἡ γὰρ παραδιδοῦσα αὐτῷ τίνες εἰσὶ αἱ, κυρίως ἔνδοξοι προτάσεις, ἔχει ἤγουν δύναται γνῶναι καὶ πᾶσαν τὴν θεωρίαν τὴν περὶ τὰ σοφίσματα. ὁ γὰρ διαλεκτικὸς ἔχων τάς, κυρίως ἐνδόξους, τόν, μὴ τοιαύτας ἀλλὰ φαινομένας λαμβάνοντα, ὀνομάζει σοφιστήν :- /σκθ/

12 172B12 I πυνθάνεσθαί πως· κρυπτικῶς

Cf. CAG II.3: 100.4

12 172B13-14 M διὰ τῆς ἐρωτήσεως συμβαίνει)

καλὸν π τῇ φύσει χρειῶδες τὸ ἐσθίειν ἐπ' ἐκκλησίας ἰσχάδας

/σλα/. Supra hanc figuram altera similis, sed numquam perfecta, erasa extat.

ἀγαθόν οὐδ ἐλαττωτικὸν κατὰ φύσιν τὸ ἀδικεῖσθαι

οὐ

Cf. 1843: 360r

12 172B14 I ἔστι τούτων· ἤγουν τοῦ ψεῦδος δεικνύειν τὸν προσδιαλεγόμενον λέγοντα. ἢ ἄδοξον. /σλα$^{bis}$/

12 172B16 I ἐρωτᾶν πολλά· ἤτοι πολλὰς προτάσεις /σλα$^{bis}$/

12 172B16 M τό τε ἐρωτᾶν πολλά) οἷον εἰ πρόκειται πρόβλημα ὡς ὁ χρόνος οὐκ ἔστιν, ἐρωτᾷ ὁ σοφιστής. ἆρ' ἐστί κίνησις, ναί. καὶ εἰ ἔστι κίνησις, λοιπὸν καὶ ἐξ ἀθηνῶν εἰς θήβας κινηθήσεταί τίς. τί δὲ ὁ κινούμενος οὐ διάστημά τι κινεῖται, ναί. καὶ λοιπὸν ὁ κινούμενος εἰς θήβας, κινηθήσεται πρῶτον, τὸ ἥμισυ τοῦ διαστήματος, ναί. καὶ τοῦ ἡμίσεος τὸ ἥμισυ. καὶ τούτου τὸ ἥμισυ, ναί. ἀλλὰ μὴν ἄπειρα ἡμίση ἐν τῷ διαστήματι εὑρίσκεται. τὰ δὲ ἄπειρα ἀδιεξίτητα. οὐκ ἔστιν ἄρα ἐξ ἀθηνῶν εἰς θήβας ἐλθεῖν. ὥστε οὐδὲ κίνησις ἔσται. καὶ εἰ τοῦτο, οὐδὲ χρόνος. ὁ γὰρ χρόνος, μέτρον κινήσεως :- /σλα$^{bis}$/

12 172B17 M τὰ δοκοῦντα λέγειν)

εὐδαίμων π πλούσιος ὁ ἀρχέλαος ὁ περδίκου

/σλβ/

εὐδαίμων τοὺς γονεῖς καὶ τοὺς ἀδελφοὺς ἀπέκτεινεν ὁ ἀρχέλαος
οὐδ
οὐ /σλβ/

12 172B17 I τὰ δοκοῦντα λέγειν· τοῖς πολλοῖς. οἷον πότερον ὁ πλούσιος εὐδαίμων. /(σλβ)/

12 172B19 I τούτων τι· τῶν ἐρωτωμένων /σλγ/

12 172B19 I ἄγειν· μετάγειν δεῖ /σλγ/

12 172B19 I ἐπιχειρήματος εὐπορεῖ· ἤτοι πρὸς τὰ ἐπιχορηγοῦντα αὐτῷ ἀφορμὰς ἐπιχειρημάτων. οἷον κατέφησεν ὁ ἐρωτώμενος ὡς ὁ πλούσιος εὐδαίμων ὁ δὲ ἐρωτῶν μετήνεγκε τὸν λόγον, εἰς τὸν ἀρχέλαον ἐξ οὗ οὐκ ὀλίγα εὗρεν ἐπιχειρήματα συνάγοντα, τὸν πλούσιον μὴ εὐδαίμονα εἶναι. ὅθεν καὶ ἔδειξε ψευδόμενον τὸν προσδιαλεγόμενον, ἐὰν δὲ ἀποφήσει καὶ μὴ δώσει εἶναι τὸν πλούσιον εὐδαίμονα, δείξει αὐτὸν ὁ ἐρωτῶν ἄδοξα λέγοντα, μετενεγκὼν τὸν λόγον εἰς τὴν δόξαν τῶν πολλῶν. οἱ γὰρ πολλοὶ δοξάζουσι τὸν πλούσιον, εὐδαίμονα εἶναι :- /σλγ/

12 172B20 I νῦν ἧττον κακουργεῖν· ὅταν τεθῆ τὸ πρόβλημα ὡρισμένον /σλδ/

12 172B20 I διὰ τούτων· διὰ τῶν πολλῶν ἐρωτήσεων καὶ τῶν λοιπῶν

12 172B20-21 I ἀπαιτοῦνται· οἱ ἐρωτῶντες /(σλδ)/

12 172B22 I τὸ μηδεμίαν εὐθὺς ἐρωτᾶν· ἤτοι κατὰ διαλεκτικὴν ἐρώτησιν προτείνειν

12 172B23-24 M χώραν γὰρ ἐπιχειρήματος· ἤτοι τὸ σκέπτεσθαι τὸν ἐρωτῶντα καὶ λέγειν. ἐρωτᾶν χάριν μαθήσεως ἀφορμὰς ἐπιχειρημάτων πολλῶν παρέχει. πρὸς τὸ δεῖξαι τὸν προσδιαλεγόμενον ψευδόμενον ἢ ἄδοξόν τι λέγοντα:- /σλϛ/

12 172B27 I τοῦτο ποιεῖν· τὸ ἐξίστασθαι τῶν προ- 417r
σεχῶς συνακτικῶν τοῦ συμπεράσματος προτάσεων. καὶ μετάγειν τὸν λόγον ἐφ' ἃ σχοίημεν εὐπορίαν ἐπιχειρημάτων. καὶ καλῶς μὲν ἐξίσταται τοῦ προκειμένου, ὅταν ἡ ἐρωτηθεῖσα πρότασις ἀναγκαία οὖσα καὶ συντελοῦσα εἰς ἀπόδειξιν τοῦ προκειμένου, οὐ συγχωρηθῆ παρὰ τοῦ ἀποκρινομένου. τότε γὰρ ἀναγκαζόμεθα ἐξίστασθαι μὲν τοῦ λέγειν πρὸς τὸ προκείμενον πρόβλημα, σπουδάζειν δὲ πρὸς σύστασιν καὶ κατασκευὴν τῆς προτάσεως. οἷον εἰ πρόκειται πρόβλημα ὅτι ἡ ἡδονὴ οὐκ ἀγαθόν, σπεύδει ὁ ἐρωτῶν. δεῖξαι τὸ ἀντικείμενον ἤγουν τό, ἀγαθὸν εἶναι. εἰ γοῦν ἐρωτήσει ἆρά γε ἡ ἡδονὴ οἰκεῖον. ὁ δὲ ἀποκρινόμενος εἴπη οὔ; ἀναγκάζεται ὁ ἐρωτῶν ἐκστῆ-

ναι τοῦ προκειμένου προβλήματος. καὶ τοῦ λέγειν τὰ πρὸς κατασκευὴν τοῦ, τὴν ἡδονὴν εἶναι ἀγαθόν. καὶ ἐρωτᾷ, τὰ πρὸς σύστασιν τῆς ἐρωτηθείσης προτάσεως οἷον ἆρά γε ἡ ἡδονὴ κατὰ φύσιν, ναί. τὸ δὲ κατὰ φύσιν οἰκεῖον, ναί. ἡ ἡδονὴ ἄρα οἰκεῖον. τὸ δὲ οἰκεῖον ἀγαθόν, ναί. ἡ ἡδονὴ ἄρα ἀγαθόν. οὐ καλῶς δὲ τοῦτο ποιεῖ ὅτε μέλλων δεῖξαι ὡς ἡ ψυχὴ λογικὴ καὶ ἄλογος, ἐρεῖ. ἆρ' οὐχὶ[1] ψυχὴ γινώσκει τὸν ἥλιον καὶ σφαιροειδῆ τὸν οὐρανὸν εἶναι. τί δέ ὁ οὐρανὸς οὐ πέμπτον ἐστὶ σῶμα, τί δέ. ὁ ἥλιος οὐ κύκλῳ κινεῖται, ἆρ' οὐκ ἔστιν ὀρεκτὸν οὗ ἡ ψυχὴ ὀρέγεται, ναί. τὸ δὲ ὀρεκτὸν οὐ[2] κινεῖ, καὶ ποταπὴν κίνησιν κινεῖ. ταῦτα πάντα ἀσυντελῆ πρὸς τὸ δεῖξαι τὴν ψυχὴν καὶ λογικὴν καὶ ἄλογον. ἦν γὰρ τοῦτο καὶ ἄλλως δεῖξαι. ἆρ' ἡ ψυχὴ λογίζεται, ναί. τί δέ οὐχὶ τὰ τῶν ἀλόγων ἔχει πάθη οἷον τὸ θυμοῦσθαι καὶ τὸ ὀρέγεσθαι, ναί. ἡ ψυχὴ ἄρα καὶ λογικὴ καὶ ἄλογος :- /σλζ/

[1]intellege οὐχ ἡ, quod habet cod. Vat. gr. 244. [2]supra lineam.

12 172B27-28 I ἐ λ έ χ θ η π ρ ό τ ε ρ ο ν· ἤγουν ἐν τοῖς τοπικοῖς /σλζ/

12 172B29-30 I ἐ κ τ ί ν ο ς γ έ ν ο υ ς· ποίας δόξης πλατωνικῆς ἢ ἑτέρας τινος /(σλη), cf. Vat. Reg. gr. 116: 359r/

12 172B31 I ἔ σ τ ι γ ὰ ρ ἑ κ ά σ τ ο ι ς τ ι τ ο ι ο ῦ τ ο ν· ἤγουν ἰδία τίς δόξα /(σλη), cf. Vat.Reg.gr. 116:359r/

12 172B32 I ε ἰ λ η φ έ ν α ι θ έ σ ε ι ς· δόξας /(σλη), cf. Vat.Reg.gr. 116: 359v θέσεις καὶ δόξας /

12 172B33 I λ ύ σ ι ς δ ὲ· παρὰ τοῦ ἀποκρινομένου

12 172B33-34 I ὅ τ ι ο ὐ δ ι ὰ τ ὸ ν λ ό γ ο ν· ἀλλὰ παρὰ τὴν τῶν πολλῶν δόξαν /Cf. Vat.Reg.gr. 116: 359v ἀλλὰ διὰ τὴν τῶν πολλῶν δόξαν/

12 172B34-35 M τ ο ῦ τ ο κ α ὶ β ο ύ λ ε τ α ι· τὸ λέγειν ὡς διὰ τὸν λόγον συμβαίνει //////// Quidnam in rasura fuerit incertum est; fortasse τὸ ἄδοξον. Verisimile est hoc scholium cum sequenti coniungendum esse.

12 172B34-35 I τ ο ῦ τ ο κ α ὶ β ο ύ λ ε τ α ι· τὸ εἰς ἄδοξον ἄγειν τὸν ἐρωτώμενον.

12 172B35 I ὁ ἀ γ ω ν ι ζ ό μ ε ν ο ς· ὁ ἐρωτῶν. ἢ ὁ ἐρωτώμενος.

12 172B36 I τ ῶ ν β ο υ λ ή σ ε ω ν· τῶν ἀποκεκρυμμένων δοξῶν /(σμ-σμα)/

12 173A2 I τ ὰ ς β ο υ λ ή σ ε ι ς· ἤτοι τὰς κεκρυμμένας

δόξας /σμ/

12 173A7 I π λ ε ῖ σ τ ο ς · ἰσχυρός /σμβ/ 417 v

12 173A9 I ο ἱ ἀ ρ χ α ῖ ο ι · σοφισταί Cf. CAG II.3: 103.10

12 173A22 I β λ ά π τ ε ι ν · ἤγουν ἀδικεῖν /σμδ/

13 173A34 I τ ὸ ὄ ν ο μ α · τὸ ὁριστὸν /σμζ/ 418 r

13 173A34 I ἢ τ ὸ ν λ ό γ ο ν · τὸν ὁρισμόν /σμζ/

13 173B2 I τ ὰ γ έ ν η ἄ λ λ ὰ κ α ὶ · ὡς ἡ ἐπιστήμη ὡς γὰρ ὑπ' αὐτὴν, οὐ πρός τι λέγεται ὡς ἡ γραμματικὴ καὶ ἡ ἰατρικὴ :

13 173B5-6 I ἡ ο ὐ σ ί α · τῶν ὑποκειμένων /σμθ/ 418 v

13 173B6 I ὧ ν ε ἰ σ ι ν ἕ ξ ε ι ς · ὑποκειμένων τὰ κατηγορούμενα /σμθ/

13 173B12 I π ο ι ε ῖ ν · ἔλεγχον ἄγοντες τὸν ἐρωτώμενον εἰς τὸ ἀδολεσχεῖν /σνα/

13 173B12-13 I δ ι ὰ τ ὸ μ ὴ π ρ ο σ π υ ν θ ά ν ε σ θ α ι · τοὺς ἐρωτῶντας /σνα/

13 173B14 I π ό τ ε ρ ο ν τ ὸ α ὐ τ ὸ ἢ ἕ τ ε ρ ο ν · τῷ ἐνεργείᾳ /σνα/

13 173B15-16 I δ ι ὰ τ ὸ τ ὸ ὄ ν ο μ α · τὸ διπλάσιον /σνα/

13 173B16 I τ ο ῦ τ ο ε ἶ ν α ι · δοκεῖν

13 173B16 I τ α υ τ ὸ κ α ὶ · τῷ, διπλασίῳ ἡμίσεος /σνα/

13 173B16 I σ η μ α ί ν ε ι ν · τὸ ἥμισυ, καὶ ἄμφω. τό, τε διπλάσιον καὶ τὸ διπλάσιον ἡμίσεος : /σνα/

14 173B21 I κ α τ' ἐ κ ε ῖ ν ο ν · τὸν πρωταγόραν /(σνβ)/

14 173B22 I φ α ί ν ε τ α ι · τοῖς πολλοῖς

14 173B22 I σ ο λ ο ι κ ί ζ ε ι · κατὰ πρωταγόραν /(σνβ)/ 419 r

14 173B22 I κ ἂ ν τ έ χ ν η τ ι ς · ἤτοι καὶ τέχνη περὶ τούτου, ἡ σοφιστική ἐστι.

Cf. Vat.Reg.gr. 116: 362r δῆλον οὖν ὅτι τὸ καταναγκάζειν τὸν προσδιαλεγόμενον σολοικίζειν δύναται ποιεῖν τέχνη τις καὶ μέθοδος· ἔστι δὲ τοῦτο ποιοῦσα ἡ σοφιστικὴ τέχνη.

14 174A7 I ἐ π ὶ τ ῶ ν π ρ α γ μ ά τ ω ν · ὁ παραλογισμός /σξ/ 419 v

14 174A12 I ε ἶ δ η μ ὲ ν ο ὖ ν τ α ῦ τ α · τὰ παρὰ τὴν λέξιν καὶ τὰ ἐκτὸς τῆς λέξεως. /σξβ/

14 174A12 I μ έ ρ η · ὁμωνυμία ἀμφιβολία

Potest etiam ὁμώνυμον ἀμφίβολον legi. Cf. CAG II.3: 109.8-9 & Commentarium III ad loc. (Vat.Reg.gr. 116:363r, Hierosolym. St. Sepulchri 150: 197v)

14 174A13 I τ ῶ ν ε ἰ δ ῶ ν · τοῦ παρὰ τὴν λέξιν καὶ τοῦ

ἐκτὸς ταύτης /σξβ/

14 174A13 I τ ρ ό π ο ι · οἱ ιγ' ἢ τὰ ε' ὧν στοχάζονται οἱ σοφισταί. /σξβ/

14 174A14 I π ω ς · τεχνηέντως

14 174A14 M τ ὰ π ε ρ ὶ τ ὴ ν ἐ ρ ώ τ η σ ι ν ) οἷον τὸ προτείνειν τὰ μὴ χρήσιμα πρὸς τὴν θέσιν. καὶ τό, μὴ συνεχῆ τὴν τάξιν λαμβάνειν. καὶ τό, τὸ συμπέρασμα μὴ λέγειν. καὶ τὸ προσυλλογίζεσθαι :-

14 174A15 I τ α ῦ τ α · τὰ συμβαλλόμενα τῷ ἐρωτῶντι εἰς τὸ ἀπατῆσαι τὸν ἐρωτώμενον :- /σξγ/

15 174A19 I ἓ ν δ ὲ τ ά χ ο ς · ἤτοι τὸ ἐπισπεύδειν καὶ ταχέως τὰς ἐρωτήσεις ποιεῖν /σξϛ/

15 174A19 M ἓ ν ... ὑ σ τ ε ρ ί ζ ο ν τ ε ς · ὡς οἱ μονολήμματοι ῥητορικοί. ὑστερίζοντες γὰρ οἱ λέγοντες τὴν παραλελειμμένην πρότασιν, ἧττον προορῶσιν οἱ ἀποκρινόμενοι :-

15 174A20 I ἔ τ ι δ' ὀ ρ γ ὴ κ α ὶ φ ι λ ο ν ε ι κ ί α · 420 r
τοῦτο δὲ γίνεται ἐκ τοῦ ἀποκαλεῖν τοὺς προσδιαλεγομένους χωρικούς. /σξζ/

15 174A22-23 I ἀ δ ι κ ε ῖ ν ... ἀ ν α ι σ χ υ ν τ ε ῖ ν · ἐν τῷ συκοφαντεῖν τὸν ἐρωτώμενον βαρβαρίζοντα. /σξζ/

15 174A23-25 M ἐ ά ν τ ε ... ο ὐ χ ο ὕ τ ω ς )

ἀγαθόν π ἀγαπητὸν τοῖς ζώοις πᾶσι ἡδονή

ἀγαθόν π ἀνεμπόδιστος ζωή ἡδονή

ἀγαθόν π ἐφετὸν πᾶσι ἡδονή Cf. 1843: 362v

ἀγαθόν π αἱρετὸν κατὰ φύσιν ἡδονή Cf. 1843: 362v

ἀγαθόν οὐδ ἀτελές ἡδονή Cf. 1843: 362v
οὐ

ἀγαθόν οὐδ γένεσις εἰς φύσιν αἰσθητήν ἡδονή
οὐ

ἀγαθόν οὐδ ἐμποδιστικὸν τοῦ φρονεῖν ἡδονή
οὐ

15 174A24 I τ ι ς ἔ χ η ι λ ό γ ο υ ς · νόει ἔξωθεν τὸ συμβάλλεται τῷ ἐρωτῶντι εἰς τὸ ἀπατῆσαι τὸν ἐρωτώμενον :

15 174A27 M χρήσιμα)

χρήσιμα καὶ πρὸς τοὺς ἀγωνιστικοὺς λόγους — π — χάριν ἀπάτης λαμβάνεται — π — χάριν τοῦ λαθεῖν λαμβάνεται — π — τὰ πρὸς κρύψι(ν) λαμβανόμεν(α)

π

π

15 174A31 M ἐξ ἀποφάσεως· οἷον ἆρά γε οὐ δοκεῖ σοι ὡς οὐκ ἔστιν ἡ ἡδονὴ κατὰ φύσιν; καὶ ἐπεὶ ἀνανεύει, δῆλον ὅτι κἀνταῦθα ἀνανεύσας, εἴπη ὅτι οὔ. καὶ ῥητέον. εἰ μὴ ἀληθὲς τὸ οὐ κατὰ φύσιν, ἀληθὲς ἄρα τὸ κατὰ φύσιν :- /σοα/

15 174A33-34 M ἐπὶ τῶν μερῶν) εἰ τὰ μέρη τοῦ ἀνθρώπου οἷον χεῖρες δόσεως καὶ λήψεως ὄργανον, καὶ τὸ καθόλου. ἀλλὰ μὴν τὰ αἰσθητήρια λαμβάνοντα, οὐ διδόασι :-

τὰ[2] ex τὸ correctum, ut videtur. αἰσθητήρια compendio scriptum: αἰσθητ( )

15 174A37 M τὴν τῆς ἐπαγωγῆς μνείαν) τὴν ἐπαγωγὴν ἀκούοντες, δοκοῦσιν ἐρωτήσεως μνεῖαν ἐν τῇ ἐπαγωγῇ γενέσθαι. τοῦτο γὰρ λέγει μνεῖαν τὸ δόξαι συμμνημονευθῆναι τῇ ἐπαγωγῇ, τὴν ἐρώτησιν :-

15 174A38 M τῆι ὁμοιότητι) πολλάκις δι' ὁμοιότη- 420v
τα δεῖ ἐπάγειν τὸ καθόλου. οἷον ἂν δ' γραμμαὶ ἀνάλογον ἔχωσι, καὶ ἐναλλὰξ ἀνάλογον ἕξουσι; ὡσαύτως καὶ ἐὰν δ' ἐπίπεδα. ἢ δ' στερεά. ἢ ἐὰν δ' λευκά, ἀποφαντικῶς ἔπαγε τὸ καθόλου δι' ὁμοιότητα λέγων πάντα ἄρα τὰ τοιαῦτα ἐὰν ἀνάλογον ἔχωσι, καὶ ἐναλλὰξ ἀνάλογον ἕξουσι. διὰ γὰρ τὴν ὁμοιότητα τοῦ, τὰ τοιαῦτα, λανθάνει πολλάκις ὁ τοιαύτην ποιούμενος τὴν ἐπιφορὰν τοῦ καθόλου :- /σοδ/

15 174B3 I καὶ τὸ πολλάκις· ἀπὸ κοινοῦ τό, εἰ δέοι λαβεῖν Cf. CAG II.3: 113.13-14.

15 174B3-4 M τὸ πολλάκις ... ὀλίγα) ὁ ἐρωτῶν εἰ βούλεται λαβεῖν τό, πολλάκις τοῖς πταίουσι συγχωρεῖν, λέγει· πολλὰ πρότερον τινὰ πταίσαντα πολλὰ συγχωρητέον, ἢ ὀλίγα. πλέον γὰρ δώσει ὁ ἀποκρινόμενος τῷ, πολλὰ πταίσαντι πολλὰ συγχωρεῖσθαι, ἢ τὸ ἐναντίον τό, ὀλίγα :-

15 174B6 I τῶν ἐναντίων· τοῦ πάντα ἀπειθεῖν καὶ τοῦ ὀλίγα συγχωρεῖν

15 174B9-11 M τὸ μηδὲν ... καὶ τό)

οὐδέν — οὐκ ὄν — τὸ παρὰ τὸ ὄν

οὐκ ἄρα τὸ ὂν πολλὰ ἀλλ' ἕν

15 174B10 I π ο ι ε ῖ ν τ ὸ τ ε λ ε υ τ α ῖ ο ν · τοῦτο οὕτως εἶπε, διὰ τὸ, κυρίως συμπέρασμα εἶναι. τὸ, συλλογιστικῶς ἐπαγόμενον: /σοη/

15 174B12 I τ ὸ φ α ι ν ό μ ε ν ο ν · ἤτοι τὸ δοκοῦν τῷ ἐρωτωμένῳ /σπ/

15 174B13 I π ρ ο κ ε ι μ έ ν ο υ τ ο ῦ · ἤγουν ἐμπεριειλημμένου τῷ φαινομένῳ /σπ/

15 174B19 M ἔ τ ι κ α θ ά π ε ρ κ α ὶ ἐ ν τ ο ῖ ς ῥ η- 421r
τ ο ρ ι κ ο ῖ ς ) ὥσπερ οἱ ῥήτορες ἐν τοῖς δικαστηρίοις συνηγοροῦντες, σπεύδουσι δεικνύειν τὸν ἀντιδικοῦντα αὐτοῖς, τἀναντία λέγοντα. ἢ ἑαυτῷ. ἢ τοῖς νόμοις. ἢ τοῖς ἔθεσι τῆς πόλεως. οὕτως καὶ τὸν σοφιστὴν δεῖ σπουδάζειν δεικνύειν τὸν προσδιαλεγόμενον, ἢ τἀναντία λέγοντα τοῦ, παρ' αὐτοῦ προτεθέντος προβλήματος, ἢ τἀναντία οἷς ὁμολογεῖ καλῶς λέγειν[1]. τῷ ἀριστοτέλει τυχόν. ἢ καὶ οὕτως. λέγει τὸν ζήνωνα καλῶς λέγειν ὅτι κίνησις οὐκ ἔστιν, δεῖ δεικνύειν ὡς ἐξ ὧν λέγουσι, συμβαίνει κίνησιν εἶναι :-
[1]α add. et erasit scholiasta. /σπβ, II.290-291/

15 174B22 M ἔ τ ι π ρ ὸ ς ... · ἔτι φησὶν ὀφείλομεν ποιεῖν τοῦτο τὸ δεικνύειν ὡς ἐξ ὧν λέγει ὁ προσδιαλεγόμενος τὸ ἐναντίον συνάγει ὧν αὐτὸς μέλλει δεῖξαι. εἴτε διαλεγόμεθα πρὸς τοὺς δοκοῦντας τοιούτους· ἤτοι πρὸς τοὺς ἀγαθοὺς περὶ ἕκαστον τουτέστιν εἴτε μετὰ ἀρίστων ἰατρῶν διαλεγόμεθα ἢ γεωμετρῶν, εἴτε πρὸς τοὺς ὁμοίους. ἤγουν ὁμοτέχνους ἢ ἰσήλικας καὶ ἁπλῶς πρὸς πάντας ὀφείλομεν τοῦτο ποιεῖν. ἢ τοὺς πλείονας :-
/σπγ, II.291-292/

15 174B24 I ὅ τ α ν ἐ λ έ γ χ ω ν τ α ι π ο ι ο ῦ σ ι δ ι τ τ ὸ ν · ἤγουν διαιροῦσι τὸ ὁμώνυμον ἐφ' ᾧ ἠλέγχθησαν /σπδ, II.292/

15 174B25 M χ ρ η σ τ έ ο ν ) νῦν λέγει ὅτι οὐκ ἀεὶ τοῦτο ποιητέον ἀλλ' ὅτ' ἂν βεβαιώσεως ἔχῃ καὶ ὁ ἀποκρινόμενος λόγους, τότε δεῖ σε λέγειν ὅτι οὕτως νοεῖται τὸ παρὰ σοῦ εἰρημένον :

15 174B27 I ὁ κ λ ε ο φ ῶ ν · σοφιστὴς οὗτος /σπε, II.293/

15 174B27 I ἐ ν τ ῶ ι μ α ν δ ρ ο β ο ύ λ ω ι · διάλογος πλατωνικὸς οὕτω καλούμενος μανδρόβουλος διὰ τὸ παρεισάγειν αὐτὸν δι' ὅλου τοῦ διαλόγου διαλεγόμενον :- /σπε, II.293/

15 174B27 M ἐ ν τ ῶ ι μ α ν δ ρ ο β ο ύ λ ω ι · ὁ μανδράβουλος ηὔξατο τῷ διὶ αὐξηθῆναι τὰ ἑαυτοῦ ποίμνια καὶ αὐτὸν πλούσιον γενέσθαι: δοῦναι δὲ αὐτῷ τὸ, τῶν ποιμνίων κρεῖττον δέδωκεν οὖν αὐτῷ ὁ ζεύς, χρυσοῦν ἀρνόν. ὃν ὁ μανδράβουλος, οὐ

δέδωκε τῷ διί. λέγων τὸ κρεῖττον εἰπεῖν, πρὸς τὸ λιπωδέστερον:-

15 174B28 I ἀ φ ι σ τ α μ έ ν ο υ ς · θέλοντας ἀφίστασθαι

15 174B28 I τ ο ῦ λ ό γ ο υ · τοῦτο πρὸς τὸν ἐρωτῶντα

15 174B29 M ἐ π ι τ έ μ ν ε ι ν · ἐκ τοῦ λέγειν ἵνα τί καταργεῖς τὸν καιρὸν. ἐρωτῶν εὐέλεγκτα καὶ οὐδαμινὰ ἐπιχειρήματα καὶ μὴ συντελοῦντα πρὸς τὸ προκείμενον· εἰ δὲ προαίσθηται οὗτος ὡς κακουργῶν ἀφίστασαι τοῦ λόγου καὶ ἐπιτέμνεις τὰ πολλὰ ἐπιχειρήματα, δεῖ σε προαγορεύειν καὶ λέγειν ὡς οὐ διὰ κακουργίαν τοῦτο ποιῶ ἀλλ' ἵνα μὴ μακρηγορῶμεν /σπϛ, II.294/

15 174B30 I π ρ ο ε ν ί σ τ α σ θ α ι κ α ὶ π ρ ο α γ ο ρ ε ύ ε ι ν · καὶ τί δεῖ πλειόνων ἵν' εἴπῃς. οἶδα ποῦ σου βλέπει ὁ λόγος ἀλλ' οὐ καλῶς.

15 174B33 M π ρ ὸ ς δ ὲ τ ο ὺ ς ἀ π α ι τ ο ῦ ν τ α ς · 421v
ἐπεὶ πολλάκις οἱ ἀποκρινόμενοι ἀπαιτοῦσι τὸν ἐρωτῶντα ἀποδεῖξαι ἣν ἠρώτησε πρότασιν, παραγγέλλει ὡς εἰ ἀπαιτηθῇς ἀποδεῖξαι ἣν ἠρώτησας πρότασιν, δεῖ σε περὶ τὰ καθέκαστα ἐνδιατρίβειν, παρὸ τὸ καθόλου συνάξαι καὶ συμπερᾶναι. τὸ γὰρ καθόλου ἀεὶ ἔχει ἔνστασιν. καὶ ἐπὶ τῶν μερικῶν δεῖ συνάξαι τὴν ἀντίφασιν, παρὸ ἐπὶ τῶν καθόλου. οἷον εἰ ἐρωτήσεις ἆρά γε τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους ἡ αὐτὴ ἐπιστήμη. ὅδε δὲ εἴπῃ οὔ· πρὸς δέ, καὶ ἀπαιτήσει σε δεῖξαι τοῦτο, μὴ εἴπῃς ὡς ἐπεὶ τοῦ περιττοῦ καὶ τοῦ ἀρτίου. καὶ τοῦ ἡρμοσμένου καὶ ἀναρμόστου. καὶ τοῦ συμμέτρου καὶ ἀσυμμέτρου ἡ αὐτὴ ἐπιστήμη, λοιπὸν ἄρα καὶ πάντων τῶν ἐναντίων, ἡ αὐτὴ ἐπιστήμη. ἐνσταίη γὰρ ἐκεῖνος πρὸς τὸ καθόλου. ὡς ἐπεὶ τοῦ γνωστοῦ καὶ ἀγνώστου. καὶ τοῦ ὄντος καὶ μὴ ὄντος. καὶ τοῦ πεπερασμένου καὶ ἀπείρου οὐκ ἔστιν ἡ αὐτὴ ἐπιστήμη, λοιπὸν οὐ πάντων τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη. καὶ εἰ τοῦτο, οὐδὲ τοῦ ὑγιεινοῦ καὶ νοσώδους ἡ αὐτὴ ἐπιστήμη ἐστίν. εἰ δὲ τὴν ἀντίφασιν συνάξεις ἐπὶ τῶν μερικῶν, οὐκ ἄν, δυνηθῇ ἔνστασιν κομίσαι πρὸς ταύτην. οἷον εἰ τοῦ ὑγιεινοῦ καὶ νοσώδους οὐκ ἔστιν ἡ αὐτὴ ἐπιστήμη, λοιπὸν οὐδὲ τοῦ περιττοῦ, καὶ τοῦ ἀρτίου. ἀλλὰ μὴν τοῦ περιττοῦ καὶ τοῦ ἀρτίου ἡ αὐτή ἐστιν ἐπιστήμη. καὶ τοῦ ὑγιεινοῦ ἄρα καὶ τοῦ νοσώδους, ἡ αὐτή. ἀλλὰ μὴν κατὰ σέ, καὶ οὐχ ἡ αὐτὴ ἐπιστήμη ἐστὶ τούτων :- /σπη, II.295/

15 174B35 M ε ὐ φ υ λ α κ τ ό τ ε ρ ο ν ) ἀσφαλέστερον συνάγειν τὴν ἀντίφασιν. καὶ δεικνύειν τὸν ἀποκρινόμενον ὡς ὃ κατέφησε, τοῦτο ἠναγκάσθη ἀποφῆσαι καὶ ὃ ἀπέφησε, καταφῆσαι:- /σπθ/

15 174B35-36 I τ ὸ κ α θ ό λ ο υ σ υ μ β α ῖ ν ο ν · ἤγουν ἀεὶ /σπθ/

15 174B38 M ο ὐ δ ε ῖ ) οὐ δεῖ δὲ τὸ συμπέρασμα ἐρώτημα ποιεῖν. ὡς καὶ ἐν τῷ η' τῶν τοπικῶν εἴρηται. εἰ γὰρ ἀνανεύσει ὁ προσδιαλεγόμενος, παρεμποδισθήσεται ἀπαρτισθῆναι ὁ συλλογισμός. ἔνια δὲ οὐδὲ ἐρωτητέον, ἤγουν τινὰς τῶν προτάσεων, οὐ δεῖ ἐρωτᾶν ἀλλ' ὡς ὁμολογουμένας λαμβάνειν. οἷον τὰς μείζονας. ὅτι πᾶς καλλωπιστὴς μοιχός ἐστι:- /ἔνια — ἐστι: σϙ/

16 175A3 I κ α ὶ τ ί · ἤτοι ποίαν πρότασιν. ἔστι δὲ αὕτη ἡ μείζων : /σϙα, I.307/

16 175A16 I δ υ σ χ ε ρ α ί ν ε ι ν ο ὐ δ ι ὰ τ ἀ λ η θ έ ς ) 422 r
ἤγουν οὐ διότι ὁ λόγος αὐτῶν φαῦλος ἐστίν. ἀλλὰ δι' ἀνεπιστημοσύνην καὶ ἀγροικίαν, ἢ τό, οὐ διὰ τὸ ἀληθές, οὕτως νοητέον. ἤγουν οὐ διὰ τὸ ἐπίστασθαι τὸ ἀληθές· ἀλλὰ διὰ τό, ἀπείρους εἶναι καὶ ἀνεπιστήμονας :- /σϙγ, I.310/

16 175A19 I π λ ε ο ν ε ξ ί α ς · ἤτοι παρατηρήσεις /σϙε, II.296/

16 175A22 I ὃ γ ὰ ρ ἴ σ μ ε ν · ὡς τό, οὐδεὶς τύπτεται τοῖς ὀφθαλμοῖς /σϙϛ/

16 175A22 M ὃ γ ὰ ρ ἴ σ μ ε ν )

τούτῳ οὗτος ἐτύπτετο ὃ εἶδες τοῦτον τυπτόμενον τῷ ὀφθαλμῷ

16 175A27 I τ ο ῖ ς δ ι α γ ρ ά μ μ α σ ι ν · τοῖς μαθηματι- 422 v
κοῖς θεωρήμασι

16 175A28 I σ υ ν θ ε ῖ ν α ι · διὰ συλλογισμῶν συναγαγεῖν

16 175A29 I π α ρ ' ὃ · ἤτοι παρὰ τό, τὸ ἄπειρον. ἐν πεπερασμένῳ χρόνῳ λαμβάνειν δυνατὸν διελθεῖν

16 175A29 M π α ρ ' ὃ )

πεπερασμένον π ἐν πεπερασμένῳ χρόνῳ δυνατὸν διελθεῖν τὸ ἄπειρον

16 175A30 I σ υ ν ε ῖ ρ α ι · τὸν προσδιαλεγόμενον

16 175A30 I δ ι α λ ῦ σ α ι τ ὸ ν λ ό γ ο ν · ἤτοι τὴν ἀκριβῆ λύσιν ἐπενεγκεῖν

17 175A34 I ο ὐ χ ὡ ς · ὡς μή

17 175A35-36 I π ρ ὸ ς τ ὸ μ ὴ δ ο κ ε ῖ ν δ ι ο ρ θ ω τ έ ο ν · ἐκείνους μὲν ἐλέγχειν ἡμᾶς δὲ ἐλέγχεσθαι

17 175A36 M δ ι ο ρ θ ω τ έ ο ν ) εἰ δοκεῖ ἐλέγχειν καὶ οὐκ ἐλέγχει, τότε διορθωτέον. τὸν καλῶς ἐλέγχοντα οὔ :-

17 175A36 M ε ἰ γ ά ρ ἐ σ τ ι ν ) εἰ γὰρ κυρίως ἔλεγχος γένοιτο; δέοι ἄν, οὐδέν. ἤγουν οὐκ ἐνδέχεται τοῦτον τόν, κυρίως ἔλεγχον διαιρεῖσθαι παρὰ τοῦ προσδιαλεγομένου, εἰς ὁμώνυμα καὶ

ἀμφίβολα. οὐδὲ γὰρ ποιεῖ ταῦτα συλλογισμόν :-

17 175A37 I ἔ κ τ ι ν ω ν · προτάσεων

17 175A37 I ο ὐ δ ὲ ν ἂ ν δ έ ο ι δ ι α ι ρ ε ῖ σ θ α ι · ὀκνεῖν τὸν ἐρωτώμενον διαστέλλας τὰ ὁμώνυμα /τ/

διαστέλλας lapsu calami pro διαστέλλειν scriptum esse videtur. Cod. Vat. gr. 244 διαιρεῖν habet.

17 175A38 I ο ὐ γ ὰ ρ π ο ι ε ῖ σ υ λ λ ο γ ι σ μ ὸ ν · τὰ ὁμώνυμα /(τ)/

17 175A40 I ο ὔ κ ο υ ν τ ὸ ἐ λ ε γ χ θ ῆ ν α ι · κατὰ τοῦτο γὰρ ὠφέλιμον ἐστὶ καὶ μάθησιν ἐμποιοῦν.

17 175A40 M ο ὔ κ ο υ ν τ ὸ ἐ λ ε γ χ θ ῆ ν α ι ) οὔκουν δεῖ εὐλαβεῖσθαι καὶ φοβεῖσθαι τὸ, φαινομένως ἐλεγχθῆναι ἀλλὰ τὸ δοκεῖν τοῖς ἀκροαταῖς ὡς ἠλέγχθης. τὰ γὰρ ἀμφίβολα καὶ αἱ ἄλλαι παρακρούσεις. ἤγουν καὶ τὰ λοιπὰ αἴτια τῶν παραλογισμῶν: ἐμποδίζουσι γενέσθαι ἔλεγχον ἀληθῆ :- /τα/

17 175B6 I ἄ δ η λ ο ν γ ὰ ρ ε ἰ ἀ λ η θ ῆ λ έ γ ε ι · εἰ ἀληθῶς φησὶν ὁ ἐρωτώμενος μὴ ἐφ' οὗ σημαινομένου ἔδωκεν αὐτὸς, ἐπὶ τούτω καὶ τὸν ἐρωτῶντα συνάξαι /τβ/ 423 r

17 175B7 I ἀ μ φ ί β ο λ ο ν · ὁ ἐρωτῶν /(τγ)/

17 175B8 I ν ῦ ν μ ὲ ν ἧ τ τ ο ν · ἤτοι μετὰ τὴν τοῦ ἀριστοτέλους τεχνολογίαν

17 175B8-9 I π ρ ό τ ε ρ ο ν δ ὲ μ ᾶ λ λ ο ν · ἤτοι πρὸ τοῦ ἀριστοτέλους

17 175B17 I ἐ π ὶ γ ὰ ρ τ ῶ ν ὁ ρ α τ ῶ ν · αἰσθητῶν. τῶν διὰ τῆς ὁράσεως ἡμῖν γνωριζομένων /(τϛ), cf. III.246/

17 175B18 I ὡ ς γ ὰ ρ δ ι ο ρ θ ο ῦ ν τ α ι · ἤγουν ὡς ἐπιχειροῦσι λύειν τὸ ῥηθὲν σόφισμα /τζ/

17 175B23 M ἀ λ λ ' ἴ σ ω ς ο ὐ τ α υ τ ὸ σ η μ α ί ν ε ι · τοῦτο λύσις ἐνστάσεως. ἴσως γὰρ τις ἐνέστη πρὸς τὸν ἀριστοτέλην. πῶς ὦ ἀριστότελες εἰπὼν εἴ τις ὑπολήψεται τὸν. παρὰ τὴν ὁμωνυμίαν ἔλεγχον, κυρίως ἔλεγχον εἶναι, συμβήσεται πάντα ἐλεγχθῆναι; τέθεικας παράδειγμα τοῦ παρὰ τὸ συμβεβηκὸς ἐλέγχου. ταύτην οὖν τὴν ἔνστασιν λύων, ἐπιφέρει. ἀλλὰ τὸ, κορίσκος ὄνομα, οὐ τὸ αὐτὸ καὶ ἓν σημαίνει ἀλλὰ πολλά. τόν, τε ὁρώμενον κορίσκον, καὶ τὸν ἐγκεκαλυμμένον. ὥσπερ οὐδὲ ἐκεῖ ἤγουν ἐπὶ τῶν ὁμωνύμων, τὸ ὄνομα τὸ, κύων σημαίνει ἓν ἀλλὰ πολλὰ. εἶπε δὲ τὸ, ἴσως, διότι ἐπὶ τῶν ὁμωνύμων μὲν, τὸ ὄνομα τὸ κύων σημαίνει πράγματα ἕτερα καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ. τὸ δὲ κορίσκος, 423 v

σημαίνει μὲν πολλὰ καὶ διάφορα τῷ λόγῳ. τῷ δὲ ὑποκειμένῳ, ἕν εἰσιν. ὁ γὰρ ὁρώμενος κορίσκος καὶ ὁ κεκαλυμμένος, εἷς μέν ἐστι τῷ ὑποκειμένῳ τῷ δὲ λόγῳ πολλοὶ ὥσπερ καὶ ὁ σωκράτης καὶ ὁ λευκὸς σωκράτης. ἐπεὶ γοῦν καὶ τὸ κορίσκος πολλὰ σημαίνει ὥσπερ καὶ ἐπὶ τῶν ὁμωνύμων τὸ ὄνομα καὶ ἐγγίζει τοῖς ὁμωνύμοις, τί διαφέρει ἤγουν οὐδὲν διαφέρει εἴγε ἀντὶ τοῦ εἰπεῖν παράδειγμα τοῦ κατὰ τὴν ὁμωνυμίαν ἐλέγχου, εἴπομεν παράδειγμα τοῦ, παρὰ τὸ συμβεβηκὸς ἐλέγχου :- /τη, II.296-297/

17 175B24 I ο ὐ δ ὲ γ ὰ ρ ἐ κ ε ῖ · ἐπὶ τῶν ὁμωνύμων /τη, II.296/

17 175B24 I ὥ σ τ ε τ ί δ ι α φ έ ρ ε ι · οὐδέν /τη, II.297/

17 175B24-25 M ε ἰ δ ὲ ... λ έ γ ε ι ν · εἰ δὲ τῷ μέν, ἤγουν ταῖς προτάσεσι, τὸ, ἁπλῶς λέγειν κορίσκον ἀποδώσει τίς, οἷον ἆρα ὁ κορίσκος μουσικός ἐστι, ναί. τῷ δέ, ἤτοι τῷ συμπεράσματι, προσθήσει τὸ τινὰ ἢ τό, τόνδε λέγων τόνδε τὸν κορίσκον τὸν κεκαλυμμένον λέγω μὴ μουσικὸν εἶναι; ἄτοπον. οὐδὲν γὰρ μᾶλλον θατέρῳ ἤγουν ὃ οὐ κεῖται ἐν ταῖς προτάσεσιν, οὐδὲ ἐν τῷ συμπεράσματι δεῖ κεῖσθαι. οὐ κεῖται δὲ ἐν ταῖς προτάσεσι τὸ, οὗτος, οὐδὲ ἐν τῷ συμπεράσματι ὀφείλει κεῖσθαι τὸ, τόνδε. οὐδ' ὃ οὐ κεῖται ἐν τῷ συμπεράσματι ὀφείλει ταῖς προτάσεσι κεῖσθαι. ὁποτέρῳ γὰρ προστεθῇ τί εἴτε ἐν τῷ συμπεράσματι εἴτε ἐν ταῖς προτάσεσιν, οὐδὲν διαφέρει ἤγουν οὐ συμβάλλεται εἰς λύσιν τοῦ σοφίσματος. παρὰ γὰρ τὴν συλλογιστικὴν μέθοδόν ἐστι, τὸ, ἐπιχειρεῖν λύειν τὸ σόφισμα ἐν τῷ προσλαμβάνειν ἐν τῷ συμπεράσματι, ὃ οὐ κεῖται ἐν ταῖς προτάσεσι :- /τθ-τι, II.297-298/

17 175B31 I δ ο ῦ ν α ι τ ὴ ν ἐ ρ ώ τ η σ ι ν · ἀπόκρισιν /τια/

17 175B36 I γ ε ν έ σ θ α ι τ ὸ ν λ ό γ ο ν · ἐναντίον

17 175B39 I π ο ι ο ῖ · ἀντὶ τοῦ, ἐποίει

Cf. cod. Vat.gr. 244:626r, ubi in contextu ποιεῖ τις, supra lineam vero ἐποίει τις. Scholiasta codicis Urbinatis ποιοῖ in ποιῇ vel ποιεῖ correxit.

17 175B40 I ο ὐ δ ' ἂ ν ὁ π α ρ ὰ τ ὴ ν ὁ μ ω ν υ μ ί α ν · ἀπὸ γὰρ τοῦ, τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν, συμβαίνει γίνεσθαι καὶ τόν, παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν :- /τιγ/

17 176A2 I ἓ ν ὄ ν ο μ α · τὸ ἱμάτιον τυχόν /(τιδ)/ 424r

17 176A3-4 M ε ἰ ο ὖ ν μ ὴ ὀ ρ θ ὸ ν )

ὀρθῶς ἀξιοῖ μίαν λαμβάνειν ἀπόκρισιν — οὐδ — δύο ἐρωτήσεις ποιεῖ — π — ὁμώνυμον ἐρωτῶν ἢ ἀμφίβολον

οὐδ

Cf. 1843: 366v

17 176A4 I ἁπλῶς· κυρίως

17 176A5 I ἁπλῶς· ἀδιαιρέτως /(τκ)/

17 176A6 I οὐδὲν γὰρ τοῦτο διαφέρει· τὸ ἐρωτᾶν ὁμώνυμα Cf. CAG II.3: 129.14

17 176A12-13 I ἀναιρεῖται γὰρ τὸ διαλέγεσθαι· ὅτι ἓν καθ' ἑνός ἐστι κατηγορούμενον:

17 176A16 I ὁ εἰπών· ἤγουν ὁ δοὺς ἐπὶ τῶν ὁμωνύμων μίαν ἀπόκρισιν /τιζ, II.298/

17 176A16 I ἀλλ' εἴρηκεν· ὡς εἰ καὶ καθ' ἑαυτὸν τίς προαιρούμενος εἶπε σωκράτης κάθηται: /τιζ, II.298/

17 176A17 I ἀξιοῦνται πῶς· ἤγουν νομίζονται ἀποκριθῆναι /τιη/

17 176A17 I διὰ τὸ λανθάνειν· τοὺς ἀκροατάς /τιη/

17 176A17-18 I τὸ συμβαῖνον· ἐν τοῖς ὁμωνύμοις μὴ εἶναι μίαν ἀπόκρισιν /τιη/

17 176A23 I ἀποκριτέον δὲ ἐπὶ μὲν τῶν δο- 424v
κούντων· ὡς ἐπὶ τοῦ, πᾶν τὸ ὑπερέχον μεῖζον τοῦ ὑπερεχομένου /τκγ/

17 176A24-25 I παρεξέλεγχος· ἤτοι σοφιστικὸς ἔλεγχος /σ̄, i.e. scholium extra ordinem numeralem in cod. Vat. gr. 244:626v/

17 176A25 I τι παράδοξον· οἷον ἆρά γε κίνησις οὐκ ἔστιν. ἢ ἆρά γε τὰ ἐναντία ταυτά /τκγ/

17 176A28 I οἴονται δὲ πάντως· κακῶς δεικνύειν

17 176A31 (ca.) M τότε δεῖ λέγειν ὅτι δεικνύεις τό, μὴ δι' αὐτοῦ δεικνύμενον:-

17 176A31 I ἐκ τῆς θέσεως· προτάσεως /τκϛ/

17 176A33-34 I ἀλλὰ παραβολῆι· ἤτοι λόγῳ ἐκ παραβολῆς καὶ ὁμοιότητος ληφθέντι. οἷον ἐστὶ τὸ πᾶν ἄρα ὃ ἄν, ἢ τοιοῦτον:- /τκη/

17 176A37 I εἰρημένον διορισμόν· ἤγουν ὁμωνυ- 425r
μίαν σύνθεσιν καὶ τὰ λοιπά /τκθ/

17 176B3 M ὁ ἄνθρωπός ἐστι τῶν ζώιων)
κτῆμα τῶν ζώων ἐστί π τῶν ζώων ἐστί ὁ ἄνθρωπος
Cf. 1843:367v

17 176B4 I ἄνθρωπον τῶν ζώιων· ὅτι εἶδος τοῦ ζώου καὶ μέρος: /τλα/

17 176B8 M ὅταν δὲ) ἐμοὶ τοῦτο οὕτως ὑπείληπται· ὅταν ἐρωτηθῇ τίς πρότασις ἢ προτάσει ἐξ ἀνάγκης ἕπεται καὶ ἡ ἑτέρα

ὡς τὸ, πότερον ὁ οὐρανὸς, γέγονε. τούτου γὰρ δοθέντος, ἐξ ἀνάγκης ἕπεται καὶ τὸ, ἀρχὴν ἔχειν οὐ μὴν τὸ ἀνάπαλιν; δεῖ φησὶ μὴ συγχωρεῖν τὸν προσδιαλεγόμενον τὴν πρότασιν ἣ ἐξ ἀνάγκης ἕπεται καὶ ἡ λοιπή. ἀλλ' ἐκείνην ἧς δοθείσης οὐκ ἐξ ἀνάγκης ἕψεται καὶ ἡ ἄλλη. χαλεπώτερον γὰρ συλλογίσασθαι ἐκ πλειόνων τουτέστι δυσχερέστερον ἐστὶ τὸ, λαβόντα τινὰ μίαν πρότασιν, μὴ εὐθὺς ἔχειν ἐξ ἐκείνης, καὶ τὴν ἑτέραν ὡς ἑπομένην αὐτῇ, ἀλλὰ δεῖσθαι καὶ ἑτέρας προτάσεως εἰς τὸ ἀπαρτίσαι συλλογισμὸν, κἀξ ἐκείνου τὸ δέ τι συμπεράνασθαι:

17 176B9-10 I ἐρωτώμενον πότερον· ἤγουν σχηματισθείσης τῆς ἐρωτήσεως διαλεκτικῶς κατὰ τὸ πότερον /τλβ/

17 176B11 I συλλογίσασθαι ἐκ πλειόνων· τὸν ἐρωτῶντα

17 176B11 I ἐὰν δ' ἐπιχειρῆι· ὡς ἡ ψυχὴ οὐκ ἔστιν ἁρμονία: /(τλγ)/

17 176B11-12 I τῶι μὲν ἔστιν· ἤτοι τῇ ἁρμονίᾳ /τλγ, cf. textum Aristotelicum in cod. Vat.gr. 244:627v, ubi τῇ ἁρμονίᾳ supra ἐστὶν legitur/

17 176B12 I ἐναντίον· ἡ ἀναρμοστία /τλγ/

17 176B12 I τῶι δ' οὐκ· τῇ ψυχῇ /τλγ, cf. cod. Vat.gr. 244:627v ubi eadem glossa supra τῷ δ'οὐκ posita extat/

17 176B12 I ἂν ὁ λόγος ἀληθὴς ἦι· ὁ λέγων τῇ ψυχῇ μηδὲν εἶναι ἐναντίον /τλγ/

17 176B18 I ὡς αἱ γνῶμαι· τῶν πολλῶν ἢ τῶν σοφῶν 425v /(τλδ)/

17 176B19 I τὰς ὅλας ἀποφάσεις· ἤτοι τὰς καθόλου /τλδ/

17 176B20 I ἔτι οὐ τὸ ἀληθές· νόει ἀπὸ κοινοῦ τὸ οὐ ψεύδεσθαι ἄν, φαῖεν τὸν μὴ συγχωροῦντα τὰ ἀμφίδοξα:-

17 176B20-21 M οὐ τὸ ἀληθὲς ἀμφιδοξεῖται)







17 176B21 I τὰ ὀνόματα· καὶ τὸ ναί καὶ τὸ οὔ

17 176B24 I ἡ γὰρ μεταφορά· ἡ ἀμφιπάθησις

18 176B29 M ὀ ρ θ ὴ λ ύ σ ι ς )

ἢ διὰ τὸ ψεῦδος τῶν προτάσεων    ἐμφάνισις ψευδοῦς    ὀρθὴ
ἢ διὰ τὴν ἁμαρτίαν τοῦ τρόπου  π  συλλογισμοῦ    λύσις

Cf. 1843:368r

18 176B30 I ἐ ρ ώ τ η σ ι ν · ἤτοι πρότασιν /τλζ, II.299/

18 176B36 I δ ι ε λ ό ν τ α λ ύ ε ι ν · ἤγουν ἀναλύοντα τὸν 426 r
συλλογισμὸν εἰς τὰς προτάσεις /τλζ, II.300/

18 177A5 I ἢ ὧ δ ε ἢ ὧ δ ε · ἤτοι κατὰ τὰς προτάσεις μόνον; ἢ καὶ κατὰ ταύτας καὶ κατὰ τὸ συμπέρασμα /τλθ, II.301/

19 177A10 I ο ἱ μ ὲ ν ἔ χ ο υ σ ι · οἱ παρὰ τὴν ὁμωνυμίαν /τμβ, II.302/

19 177A10 I τ ῶ ν ἐ ρ ω τ η μ ά τ ω ν τ ι · οὐ μὴν τὸ συμπέρασμα

19 177A11 I ο ἱ δ ὲ · οἱ παρὰ τὴν ἀμφιβολίαν /τμβ, II.302/

19 177A11 I τ ὸ σ υ μ π έ ρ α σ μ α · καὶ μίαν τῶν προτάσεων

19 177A12 I τ ὸ · καὶ

19 177A13 M μ ὴ σ υ ν ε π ί σ τ α σ θ α ι )

συνεπίσταται ὃ λέγει  π  ἐπίσταται λέγειν ἰαμβεῖα    ὁ σοφός

συνεπίσταται ὃ λέγει  οὐδ  ἐπίσταται λέγειν ἰαμβεῖα    ὁ ἰδ«ι»ώτ«ης»
οὐδ

19 177A14 I ὁ τ ὲ ... ὁ τ ὲ δ ' ο ὐ κ ἔ σ τ ι ν · καὶ ἔν τινι 426 v
τῶν προτάσεων καὶ ἐν τῷ συμπεράσματι

19 177A14 I ο ὐ κ ἔ σ τ ι ν ἀ λ λ ὰ · ἐν ἀμφοτέραις ἀλλ' ἐν μιᾷ τῶν προτάσεων ὡς ἐπὶ τῶν ὁμωνύμων:-

19 177A15 I τ ὸ μ ὲ ν ὄ ν · ἤγουν ἀληθές /τμδ/

19 177A16 I ἐ ν τ ῶ ι τ έ λ ε ι · οἷον τῷ, τὸν τυφλὸν ὁρᾶν /(τμε)/

19 177A17 I τ ὴ ν ἀ ν τ ί φ α σ ι ν · ἤγουν τὸ ἔστι τυφλὸν ὁρᾶν καὶ μὴ ὁρᾶν /(τμε)/

19 177A19 I ἀ ν ά γ κ η π ρ ο α π ο φ ῆ σ α ι · ὅταν ἐπὶ μέρους ἀληθεύῃ καὶ ψεύδεται    ἀληθεύῃ: ἀληθεύει a.c., ut videtur.

19 177A19-20 M ο ὐ γ ὰ ρ π ρ ὸ ς τ ο ῦ τ ο ) οὐ γὰρ πρὸς τοῦτο, βούλεται σοφίζεσθαι ἀλλὰ διὰ τῆς προτάσεως τὸ συμπέρασμα:-

19 177A29 I κ α ὶ ὅ τ ι τ ο ὺ ς ᾠ δ ί · ἤτοι τοὺς παῖδας τοὺς ἀποστοματίζοντας τὰ ἰαμβεῖα /τμη/

19 177A30 I ἁ π λ ῶ ς · ἄνευ τοῦ διαιρῆσαι τὸ ὁμώνυμον /τμη/

20 177A36 I τ ο ι ο ῦ τ ο ι λ ό γ ο ι · οὓς μέλλει νῦν ἐρεῖν /(τνα)/ 427 r

20 177A36-37 M ἆ ρ ' ὧ ι ε ἶ δ ε ς )

τούτῳ αὐτὸν τυπτόμενον εἶδες   ῥάβδῳ[1] ἐτύπτετο   οὗτος[2]

ῥάβδῳ ἄρα εἶδες τοῦτον τυπτόμενον

ἔστι δὲ παρὰ τὴν σύνθεσιν καὶ τοῦτο τὸ σόφισμα οὕτως γὰρ ἔδει συμπερᾶναι εἶδες ἄρα αὐτὸν τυπτόμενον ἐν ῥάβδῳ. γέγονε δὲ παρὰ τὴν σύνθεσιν, ἐκ τοῦ διελεῖν τὸ, εἶδες ἀπὸ τοῦ, αὐτὸν τυπτόμενον καὶ προσθεῖ«ναι» τῇ ῥάβδῳ:- /τνβ/

Schema paralogismi in rasura scriptum est. Ex figura erasa supra ῥάβδῳ (1) ὧ discernere licet, supra οὗτος (2) adhuc τοῦτον legitur.

20 177A38 I ἔ χ ε ι μ ὲ ν ο ὖ ν τ ι κ ἀ κ τ ῶ ν ἀ μ φ ι β ό λ ω ν · τὸ γὰρ τούτῳ ἐτύπτετο οὗτος, διττῶς νοεῖται /τνγ/

20 177A38 M οὐ παρὰ ἀμφιβολίαν ἀλλ' ἡ σύνθεσις παρὰ τὴν προσῳδίαν ἐγένετο. οὐ παρὰ: lectio incertissima; in rasura, ut videtur.

20 177B1-2 I ο ὐ γ ά ρ ἐ σ τ ι δ ι τ τ ὸ ν · εἰ γὰρ τὸ τυπτόμενον διαιρήσεις μὲν, τοῦ ὀφθαλμοῦ συνθήσεις δὲ τῷ εἶδες. καὶ ἐρεῖς τῷ ὀφθαλμῷ εἶδες τοῦτον τυπτόμενον, οὐ διττὸν ἐμφαίνεις. /τνδ/ Hoc scholium in rasura scriptum esse videtur.

20 177B2 M ο ὐ γ ά ρ ὁ α ὐ τ ὸ ς λ ό γ ο ς · οὐ γὰρ ὅμοιος ὁ λόγος ἀμφιβολίας λέγω καὶ προσῳδίας

20 177B6 I κ ἀ κ ε ῖ δ ' ἤ δ η · καὶ ἐν τοῖς γεγραμμένοις δὲ ὅταν τὸ ὄνομα ἔχῃ τὸ διττόν :- /τνη/ καὶ: vel ὡς

20 177B6 I π α ρ ά σ η μ α · ἤτοι στοιχεῖα καὶ τόνους /τνζ/

20 177B6 I δ ὲ · γὰρ /τνη/

20 177B8 I ο ὐ π ά ν τ ε ς ο ἱ ἔ λ ε γ χ ο ι π α ρ ὰ τ ὸ δ ι τ τ ό ν · ὁ γὰρ παρὰ τὴν σύνθεσιν, οὐκ ἔχει τὸ διττόν. /τξ/

20 177B10 I δ ι α ι ρ ε τ έ ο ν · τόδε ἀπὸ τοῦδε. καὶ προστεθέον τῷδε, ἐν τοῖς παρὰ σύνθεσιν /τξα/

20 177B12 I ἆ ρ ' ο ἶ δ α ς · συμπέρασμα τοῦτο ἐστίν: /(τξγ)/ ἆρ' ex ἄρ' effecit scholiasta.

20 177B13 I ἐ ν π ε ι ρ α ι ε ῖ · ἀθηναίων λιμὴν οὗτος ὁ πειραιεύς 427 v

20 177B17 I τ ο ῦ δ ὲ κ α κ ο ῦ · ἤτοι τῶν δηλητηριωδῶν βοτανῶν

20 177B17 I σ π ο υ δ α ῖ ο ν τ ὸ μ ά θ η μ α · ὅτι καὶ ἡ ἐπιστήμη σπουδαία

20 177B17 M σ π ο υ δ α ῖ ο ν τ ὸ μ ά θ η μ α )

σπουδαῖον μάθημα π ὧν σπουδαία ἡ ἐπιστήμη π[1] τὸ τοῦ κακοῦ

1: fort. erasum

20 177B18 I ἀ λ λ ὰ μ ὴ ν κ α ὶ κ α κ ὸ ν · ἀλλὰ μὴν καὶ κακόν ἐστι τὸ κακόν. καὶ μάθημα ἐστιν, ὥστε κακὸν μάθημα τὸ κακόν. τοῦτο δὲ παρὰ τὴν σύνθεσιν ἐγένετο οὐ γὰρ εἰ ἰδία ἀληθὲς εἰπεῖν περὶ τοῦ κακοῦ ὅτι ἔστι κακόν ἔστι δὲ καὶ μάθημα, ἀνάγκη καὶ ἡνωμένως ἀληθεύειν:-

20 177B25 I ἢ ο ὔ · λύσις /τξζ/

20 177B26 I τ ο ῦ π ο ι ε ῖ ν · ἐσύστερον /(τξζ)/

20 177B32 I π α ρ ὰ τ α υ τ ὸ ν · ἤγουν διὰ τὴν αὐτὴν αἰ- 428 r
τίαν /τξη/

20 177B32 I λ ό γ ω ν · παραλογισμῶν /τξη/

20 177B33 M α ὕ τ η δ᾽ ο ὐ χ ἁ ρ μ ό σ ε ι )

πρὸς τὸν ἐρωτῶντα ἐστιν οὐ πρὸς τὴν ἀλήθειαν καὶ τὸ πρᾶγμα π οὐχ᾽ ἁρμόζει πᾶσι τοῖς διὰ τὴν αὐτὴν αἰτίαν παραλογισμοῖς ἡ λύσις. ἢ «ἀπό» τινων π«ρο»φερομ«ένη» εἰς τὸ μὴ κιθαρ«ί»ζοντα κιθαρίζ«ειν»

20 177B34 I π ρ ὸ ς τ ὸ ν λ ό γ ο ν · ἤτοι τὴν ἀλήθειαν καὶ τὸ πρᾶγμα /τξη/

21 177B37 M ἆ ρ ά γ ᾽ ἐ σ τ ὶ ... )

ἀπόφασις οἰκία



τό, οὗ καταλύεις

22 178A6 I ὑ π ά ρ χ ε ι ν τ ι τ ο ύ τ ω ν · ἤγουν οὔτε ποσὸν οὔτε ποιὸν οὔτε ἄλλό τι τῶν θ᾽ κατηγοριῶν /τοβ/

22 178A7 I ὅ σ α τ ί ἐ σ τ ι σ η μ α ί ν ε ι · ἤτοι τὰ οὐσίαν σημαίνοντα /τοβ/

22 178A7 M ὃ δ᾽ ἔ δ ε ι ξ ε ν )

συμβεβηκός τῶν πρός τι πατήρ σωκράτης

22 178A8 I δ ὲ · παρέλκον /τογ/

22 178A9 I ἐ ν τ ῶ ι δ ε τ ῶ ι λ ό γ ω ι · παραλογισμῶ /τοδ/

22 178A9 M ἐ ν τ ῶ ι δ ε τ ῶ ι λ ό γ ω ι ) τοῦτο παράδειγμα ἐστὶν, οὐχὶ τῶν παραλογισμῶν τῶν δεικνυόντων τὴν οὐσίαν πρός τι. ἀλλὰ τῶν δεικνυόντων τὸ πάσχειν, ποιεῖν. ἤγουν τὸ πάθος,

ἐνέργειαν:- /τοδ/

22 178A11-12 I τ ι τ ῶ ν π ά σ χ ε ι ν · ἤτοι τῶν ὑπὸ τὸ πάσχειν ἀναγομένων /τοε/ 428v

